Κείμενο : Υἱὸς καὶ λέων γεγραμμένος

Γέρων δειλὸς ὁρᾷ καθ᾽ ὕπνους ὅτι ὁ υἱὸς ὑπὸ **λέοντος** κατησθίετο[1]. Εὐθὺς δ᾽ ἐκ τοῦ φόβου οἴκημα καλὸν καὶ μετέωρον[2] κατασκευάζει καὶ ἐνταῦθα μετὰ θεραπόντων τὸν υἱὸν ἐγκλείει. Κοσμεῖ δ᾽ ἔνδον τὸ οἴκημα ἀνδριᾶσι καὶ ἄλλῳ κόσμῳ, ἐπὶ δὲ τοῦ τοίχου γράφει πρὸς τέρψιν τοῦ υἱοῦ γίγαντας, **λέοντας** καὶ παντοῖα ζῷα· οὕτω γὰρ **οἱ λέοντες** καὶ ἐλέφαντες ἀκίνδυνοι ἦσαν τῷ υἱῷ**.**

Ὁ δὲ παῖς πλησιάζει μὲν **τοῖς λέουσι** καὶ ἐλέφασι, περίλυπος δ᾽ ἦν, ὅτι κατάκλειστος ἦν. Καὶ δήποτε[3] λέγει τῷ ἐλέφαντι· «Ὦ ἐλέφαν, ὡς καλὸς εἶ καὶ καλοὺς ὀδόντας ἔχεις ».Ἐφεξῆς δὲ πλησιάζει **τῷ λέοντι** καὶ λέγει αὐτῷ. «**Ὦ** κακὲ **λέον,** δικαίως οἱ θηρευταὶ ἱμᾶσι[4] δεσμεύουσί σε· τοῖς γὰρ ὀδοῦσι δάκνεις καὶ τὰ θηράματα φονεύεις. Καὶ ἐγὼ δὲ διὰ σὲ κατάκλειστός εἰμι, ὡς ἐν φρουρᾷ[5] ». Καὶ εὐθὺς ἐπιβάλλει τῷ τοίχῳ τὸν δάκτυλον καὶ ἐκτυφλώττει **τὸν λέοντα**. Σκόλοψ[6] δ᾽ ὅμως τῷ δακτύλῳ ἐμπήγνυται καὶ ὄγκωμα καὶ φλεγμονὴν ἐπιφέρει αὐτῷ. Ἐξ αὐτοῦ δ᾽ ἐπιγίγνεται[7] πυρετὸς τῷ παιδὶ καὶ μετ᾽ οὐ πολὺ ἀποθνήσκει. Οὕτω ὁ υἱὸς τοῦ γέροντος τὸ πεπρωμένον[8] οὐκ ἀποφεύγει.

Πηγή : Αναγνωστικόν της Αρχαίας Ελληνικής Γλώσσης , Γ. Ζούκη

ΛΕΞΙΛΟΓΙΚΑ

γεγραμμένος : ζωγραφισμένος
1.κατεσθίομαι : κατατρώγομαι
2. μετέωρον : ψηλό
3.δήποτε : κάποτε
4. ὁ ἱμάς : το λουρί
5. φρουρά : φυλακή
6 . ὁ σκόλοψ : ο πάσσαλος, (εδώ) αιχμηρό, μυτερό ξύλο
7. ἐπιγίγνεται : επέρχεται, συμβαίνει ως επακόλουθο
8. τὸ πεπρωμένον : το μοιραίο

ΑΣΚΗΣΕΙΣ

1.α.) Να κλίνετε στο τετράδιό σας το οδοντικόληκτο διπλόθεμο ουσιαστικό της γ΄ κλίσης <u>ὁ λέων</u> , με βάση τις υπογραμμισμένες καταλήξεις του ουσιαστικού στο κείμενο και την κλίση του αντίστοιχου ουσιαστικού <u>ὁ γέρων</u> στη σελ. 111 του σχολ. βιβλίου .

β.) Στη συνέχεια, να κλίνετε το μονόθεμο οδοντικόληκτο ουσιαστικό της ίδιας κλίσης : <u>ὁ ἱμάς ,</u> με βάση την κλίση του ουσιαστικού <u>ὁ ἀνδριάς (σελ. 111 σχολ. βιβλίου)</u>

γ.) Τέλος, να κλίνετε το μονόθεμο οδοντικόληκτο ουσιαστικό της γ΄: <u>ὁ ἐλέφας, με βάση την κλίση του ουσιαστικού :</u> <u>ὁ γίγας (σελ.111 σχολ. β.)</u>

2. Μεταφέρετε στην ίδια πτώση του άλλου αριθμού τα παρακάτω ουσιαστικά του κειμένου αναγνωρίζοντας την κλίση του καθενός :

ὁ γέρων →..... → τοῦ γέροντος.....

τῶν θεραπόντων (ὁ θεράπων) →.....

τοῖς ἀνδριᾶσι →..... τοῖς ἐλέφασι →.....

τούς γίγαντας →..... τήν τέρψιν →.....

τὰ θηράματα →.....

τῷ υἱῷ →..... → τὸν υἱὸν.....

τοῦ τοίχου →..... τῷ κόσμῳ →.....

τοῦ φόβου →.....τὸ πεπρωμένον →.....

οἱ θηρευταὶ →..... τήν φλεγμονὴν →.....

τῇ φρουρᾷ →.....

3.Συμπληρώστε τον πίνακα των χρόνων ενεργητικής και μέσης φωνής (όσα έχετε μάθει) :

ενεργητ.φ.

μέση φ.

ΕΝΕΣΤΩΤΑΣ	ΠΑΡΑΤΑΤ.	ΜΕΛΛΟΝΤΑΣ	ΑΟΡΙΣΤΟΣ	ΠΑΡΑΚΕΙΜ.	ΥΠΑΡΣΥΝΤΕΛ.
κατασκευάζει					
	ἦν				
γράφει					
φονεύεις					